σεως τὸ εἶδος, ἀλλότριον πάντῃ, καὶ ἀήθες, καὶ ἀνομοιότατον (1), ἄλλῳ δ᾽ ὅτῳ, εἰ μηδέν τι εἴη τὸ κωλῦον, προσαναπτέον, ὅπερ ἂν, εἰ τύχοι, ἡ κατὰ τὴν συγγραφὴν λέξις ἀκριβῆ παρέχοιτο συνιδεῖν τὴν ἐμφέρειαν.

§. τλα΄. Καὶ τὰ ἀτελῶς δὲ, καὶ ἀπαιδεύτως συγγεγραμμένα, καὶ ψευδῶν τινων καὶ ἀτόπων ὄντα ἀνάπλεα, κἂν ἄλλως ἐν Κώδιξιν οὐχ οὕτω προσφάτοις ἐμφέρηται, τῶν ἐνδοξοτάτων τινὶ καὶ γνωριμωτάτων ἐπὶ σοφίᾳ προσανατιθέμενα, ἤτοι ὅλως καὶ ταῦτα εἰς Κυνόσαργες ἀποῤῥιπτέον, ὡς τῷ παντὶ νόθα καὶ σκότια, ἢ γοῦν τὰ πλεῖστα παρακεχαράχθαι ὑποληπτέον, εἰ μάλιστα τοῖς λόγου ἀξίοις, συμμεμιγμένα ἀκόσμως ἐνορῷτο τὰ ἀτελῆ, καὶ φαῦλα, καὶ ἄτοπα (2).

§. τλβ΄. Καὶ ἐν οἷς δὲ τἀναντία ἐκ προθέσεως, αὐτὸς ὅτῳ προσαναγράφεται, δογματίζων ἐν ἄλλοις φαίνεται, καὶ ταῦτα ἤτοι νοθείας (3), ἢ παρεγγραφῆς εὐθύναις καθυποβλητέον. Πλὴν εἰ μὴ ἀποσκυβαλίσαι ἔπειτα μεταβουλευσάμενον, τὰ προεκδοθέντα αὐτῷ, δῆλον ποθὲν ἡμῖν εἴη, καὶ δευτέραις φροντίσι τὰ προημαρτημένα, ἐπιδιορθώσασθαι, ὅ τισιν ἐγένετο (4). Καὶ εἰ μὴ γυμνάζων ἑκατέρωθεν τὸν λόγον, ἢ σκεπτικώτερον ὑπενδοιάζων καὶ ἀμφιγνωμῶν, ἢ τέως καὶ περί τινα μὴ πάνυ πολλοῦ λόγου ἄξια διὰ λήθην παρολισθαίνων, εἰς τὸ ἀντιδοξεῖν παρενήνεκται. Συμβαίνειν γάρ τι καὶ τοιοῦτον ἐνίοτε φιλεῖ, καὶ μάλιστα τοῖς πολλὰ συγγράφουσιν. Ἀλλὰ καὶ περὶ τούτων ἅλις.

ΚΕΦΑ-

(1) „Τὰ τοίνυν Λιθιακὰ, ἐκρίθησαν ἴδια Διονυσίου καὶ αὐτὰ, διὰ τὴν τοῦ χαρακτῆρος ὁμοιότητα· τὰ δὲ Βασσαρικὰ διὰ τὴν τραχύτητα οὐκ ἄξια τούτου κριθέντα, εἰς τὸν Σάμιον ἀνηνέχθησαν Διονύσιον. τὰ δὲ Ὀρνιθιακὰ εἰς ἄλλον τινὰ Φιλαδελφέα Διονύσιον. Εὐστάθ. εἰς Διονύσ. τὸν Περιηγ.

(2) Οἷον τὸ περὶ ὑποτυπώσεων, εἰ τῷ ὄντι τοῦ Ἀλεξανδρέως Κλήμεντος ἦν, ὃ Φώτιος ὑποδιστάζει; (Κώδ. ρθ΄.) „Τῶν γὰρ ἐν ἐκείνῳ τῷ βιβλίῳ ἔντισι μὲν ὀρθῶς δοκεῖ λέγειν, ἔντισι δὲ παντελῶς εἰς ἀσεβεῖς καὶ μυθώδεις λόγους ἐκφέρεται ... καὶ ἄλλα δὲ μυρία βλασφημεῖ καὶ φλυαρεῖ, εἴτε αὐτὸς, εἴτε τις ἕτερος τὸ αὐτοῦ πρόσωπον ὑποκριθείς.

(3) Τῷ Κανόνι τῷδε ἑπόμενος ὁ Γαλην. (ὑπομν. Α΄. εἰς τὸ περὶ Φύσ. Ἀνθρ.) „τὸν μὲν πρῶτον λόγον τοῦ Ἱπποκράτους εἶναι γιγνώσκει, ἅτε δὴ παντοίως ἐχόμενον τῆς Ἱπποκράτους τέχνης. Τὸν δὲ περὶ τῆς τῶν φλεβῶν ἀνατομῆς, ἐναργῶς παρεγκείμενον ἔχει μοχθηρὸν ὅλον. οὔτε γὰρ τοῖς φαινομένοις ὁμολογεῖ, καὶ τοῖς ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν εἰρημένοις μάχεται.

(4) Ὡς Αὐγουστίνῳ συγγράψαντι τὰ περὶ τῶν Ἐπανορθώσεων.



# ΚΕΦ. ΕΚΤΟΝ.

## Ὅπως τὸ Πιθανὸν παραδεκτέον, ἐν τοῖς ὑπὸ τῶν ἄλλων, ἢ διὰ λόγου μαρτυρουμένοις, ἢ ἐν συγγράμμασιν ἱστορουμένοις.

§. τλγ΄.

Διὰ τῆς Ἱστορικῆς λεγομένης Κριτικῆς (§. τζ΄.), ἣν τῆς μεθοδικῶς τὰ τῶν Ἱστορικῶν τεχνολογούσης, τῷ παντὶ διαφέρειν εὔδηλον (§. τγ΄.), οὐδὲν ἄλλο, ἢ ὅσον εἰς παραδοχὴν ἀξιόπιστοι εἰσὶν αἱ ἀπὸ στόματος, ἢ διὰ συγγραφῆς ὑπό τινων κατατιθέμεναι μαρτυρίαι, κρίνειν ἐπαγγελλόμεθα, τὴν, ἥν περ ὑφορᾶσθαι δίκαιον, ἀπάτην ἐμφρόνως τε καὶ προσεκτικῶς παραφυλαττόμενοι (1). Τὸ γὰρ εὔπιστον εὐαπάτητον· ψυχή τε ἡ παντὶ τῷ λεγομένῳ ῥᾷστα πιστεύουσα, εὐχερῆ εἰς ἑαυτὴν παρασκευάζει τῷ ψεύδει τὴν εἴσοδον. Τῶν γὰρ ἀφηγουμένων, πολλοὶ μὲν εἰσὶν οἱ ἐθελοψευδοῦντες ἐπίτηδες. Πολλοὶ δὲ καὶ ἐξ ὧν ἤκουσαν εἰς ἀπάτην αὐτοὶ παρασυρέντες, πρὸς τὴν τῶν αὐτῶν πίστιν καὶ ἄλλους συνωθεῖν εἰώθασιν. Ὃ γοῦν περὶ τῶν προχείρως διαψευδομένων εἴρηται, ὡς τοῦτο ἂν ἐκ τοῦ ψεύδεσθαι ὄναιντο, τὸ καὶ ἐφ᾽ οἷς ἀληθεύουσιν ἀπιστεῖσθαι, μικρὸν ἄλλως τις μεταλαβὼν εἴποι, ὡς ἡμᾶς εὐλόγως τὸ πλῆθος τῶν ψευδομένων, ὑπόπτους καὶ πρὸς τοὺς μὴ τοῦτο εἰωθότας ἀποφαίνειν προσῆκεν. Ἀλλὰ γὰρ καὶ τὸ πέρα τοῦ μετρίου ὕποπτον τῆς γνώμης καὶ ἄτεγκτον, οὐδὲν ἧττον ἀλλαχόθεν, εἰ μή τι καὶ μᾶλλον, τοῦ εὐχεροῦς εἰς πίστιν, γένοιτ᾽ ἂν ἐπιζήμιον (2). Διὸ καὶ ὅροις τισὶ κἀνταῦθα ἐμμένειν δέον,

V 2 οἷς

(1) „Εἰ μὲν πάντα τὰ Ἱστορούμενα ἀληθῆ τινὰ Κριτὴν εἶχε, καλῶς ἂν ἦν παραδέχεσθαι τὴν Ἱστορίαν. ἐπεὶ δὲ οὐχ οὕτως ἔχει, δεῖ κριτήριόν τι εὑρῆσθαι τῆς Ἱστορίας, ᾧ διακρινοῦμεν τὴν ἀλήθειαν ἀπὸ τῶν ψευδῶν. Γαλην. πρὸς Θρασύβ. περὶ Ἀρίσ. Αἱρ.

(2) Οὐ γὰρ οἷοί τε ἀφ᾽ ἑαυτῶν, ἁπάντων ἐκπορίζεσθαι τὴν γνῶσιν, ὧν χρῄζομεν. Ἀλλ᾽ εἰ μὴ καὶ τοῖς παρὰ τῶν ἄλλων λεγομένοις πιστεύοιμεν, τῶν πλειόνων ἦν ἐπάναγκες ἡμᾶς στέρεσθαι, μηδὲν μὲν ὄφελος ἐξ αὐτῶν ἀρνουμένους, ἄθλιον δέ τινα βίον, καὶ βραχυτελῆ ἐπὶ γῆς διαζῶντας. ῥᾴδιον δὲ παντὶ ἐννοῆσαι καθ᾽ ἑαυτὸν, οἷοι ποτ᾽ ἂν εἴημεν

ἐκεῖνα